δάζων τοῦτο ποιεῖ· οἱ μὲν οὖν ἀποσταλέντες, εἰσίν· Ἄρειος· Ἀχιλλᾶς·
Ἀειθαλής· καὶ Καρπώνης καὶ ἕτερος Ἄρειος· καὶ Σαρμάτης·
Εὐζώιος· καὶ Λούκιος· καὶ Ἰουλιανός· καὶ Μηνᾶς· καὶ Ἑλλάδιος καὶ Γάιος· καὶ σὺν
αὐτοῖς Σεκοῦνδος καὶ Θεωνᾶς, οἱ ποτὲ λεχθέντες ἐπίσκοποι· ποῖα δὲ πρὸς
τὰς γραφὰς ἐφευρόντες λαλοῦσιν, ἐστὶ ταῦτα· Ποῖα φρονοῦσιν Ἀρειανοί:

Οὐκ ἀεὶ ὁ θεὸς πατὴρ ἦν, ἀλλ' ἦν ὅτε ὁ θεὸς πατὴρ οὐκ ἦν· οὐκ ἀεὶ ἦν ὁ τοῦ θεοῦ λόγος
ἀλλ' ἐξ οὐκ ὄντων γέγονεν· ὁ γὰρ ὢν θεός, τὸν μὴ ὄντα ἐκ τοῦ μὴ ὄντος πεποί-
ηκε· διὸ καὶ ἦν ποτε ὅτε οὐκ ἦν· κτίσμα γάρ ἐστι καὶ ποίημα ὁ υἱός· οὔτε δὲ
ὅμοιος κατ' οὐσίαν τῷ πατρί ἐστιν, οὔτε ἀληθινός, καὶ φύσει τοῦ πατρὸς λόγος ἐστίν·
οὔτε ἀληθινὴ σοφία αὐτοῦ ἐστίν· ἀλλ' εἷς μὲν τῶν ποιημάτων καὶ γεννητῶν
ἐστί· καταχρηστικῶς δὲ λόγος καὶ σοφία γενόμενος· καὶ αὐτὸς δὲ τῷ ἰδίῳ τοῦ
θεοῦ λόγῳ καὶ τῇ ἐν τῷ θεῷ σοφίᾳ, ἐν ᾗ καὶ τὰ πάντα καὶ αὐτὸν πεποίηκεν ὁ θεός·
διὸ καὶ τρεπτός ἐστι καὶ ἀλλοιωτὸς τὴν φύσιν, ὡς καὶ πάντα τὰ λογικά· ξένος
τε καὶ ἀλλότριος καὶ ἀπεσχοινισμένος ἐστὶν ὁ λόγος, τῆς τοῦ θεοῦ οὐσίας· καὶ ἄρρη-
τός ἐστιν ὁ πατὴρ τῷ υἱῷ· οὔτε γὰρ τελείως καὶ ἀκριβῶς γινώσκει ὁ λόγος τὸν
πατέρα, οὔτε τελείως ὁρᾶν αὐτὸν δύναται· καὶ γὰρ ἑαυτοῦ τὴν οὐσίαν οὐκ οἶδεν
ὡς ἔστιν· δι' ἡμᾶς γὰρ πεποίηται, ἵνα ἡμᾶς δι' αὐτοῦ ὡς δι' ὀργάνου
κτίσῃ ὁ θεός· καὶ οὐκ ἂν ὑπέστη, εἰ μὴ ἡμᾶς ὁ θεὸς ἠθέλησε ποιῆσαι· ἠρώτησε
γοῦν τις αὐτούς, εἰ δύναται ὁ τοῦ θεοῦ λόγος τραπῆναι ὡς ὁ διάβολος ἐ-
τράπη· καὶ οὐκ ἐφοβήθησαν εἰπεῖν, ναί, δύναται· τρεπτῆς γὰρ φύσεως
ἐστί, γενητὸς καὶ τρεπτὸς ὑπάρχων· ταῦτα λεγόντων τῶν περὶ Ἄρειον, καὶ ἐ-
πὶ τούτοις ἀναισχυντούντων, αὐτούς τε καὶ τοὺς συνακολουθήσαντας
αὐτοῖς, ἡμεῖς μὲν μετὰ τῶν κατ' Αἴγυπτον ἐπισκόπων καὶ τὴν Λιβύην
ἐγγὺς ἑκατὸν ὄντες συνελθόντες ἀνεθεματίσαμεν· οἱ δὲ περὶ Εὐσέ-
βιον προσεδέξαντο, σπουδάζοντες συγκαταμῖξαι τὸ ψεῦδος τῇ ἀλη-
θείᾳ καὶ τῇ εὐσεβείᾳ τὴν ἀσέβειαν· ἀλλ' οὐκ ἰσχύσουσι· νικᾷ γὰρ ἡ ἀλήθεια·
καὶ οὐδεμία κοινωνία φωτὶ πρὸς σκότος· οὐδὲ συμφώνησις Χριστῷ πρὸς
Βελίαρ· τίς γὰρ ἤκουσε πώποτε τοιαῦτα· ἢ τίς νῦν ἀκούων οὐ ξενίζεται,
καὶ τὰς ἀκοὰς βύει, ὑπὲρ τοῦ μὴ τὸν ῥύπον τούτων τῶν ῥημάτων ψαῦσαι
τῆς ἀκοῆς· τίς ἀκούων Ἰωάννου λέγοντος, ἐν ἀρχῇ ἦν ὁ λόγος, οὐ καται-
γινώσκει τούτων λεγόντων, ἦν ποτε ὅτε οὐκ ἦν· ἢ τίς ἀκούων ἐν τῷ εὐαγγε-
λίῳ, μονογενὴς υἱός, καὶ δι' αὐτοῦ ἐγένετο τὰ πάντα, οὐ μισήσει τούτους φθεγ-
γομένους, ὅτι εἷς ἐστι τῶν ποιημάτων ὁ υἱός· πῶς δὲ δύναται ἴσος εἶναι
τῶν δι' αὐτοῦ γενομένων· ἢ πῶς μονογενής, ὅτε τοῖς πᾶσι κατ' ἐκεῖνον συναριθμεῖ-

http://digital.slub-dresden.de/ppn334880238/232